③

# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

## Θυρανοίξια Ναοῦ
## ἤτοι
## Ἱερὰ Ἀκολουθία Ἁγιασμοῦ
## ἐπὶ τῇ ἐνάρξει
## λειτουργίας Ναοῦ

© Ἱερὰ Μονὴ Ἁγίου Κυπριανοῦ
Φυλὴ Ἀττικῆς
Τ.Θ. 46006 - ΑΝΩ ΛΙΟΣΙΑ 133 10 GREECE
Τηλέφωνα: 210 24 11 380, 210 24 11 316
Τηλεαντίγραφα (Telefax): 210 24 11 080
E-mail : kyprianos@synodinresistance.org
Ἱστοσελίδα: http://www.synodinresistance.org

# ΘΥΡΑΝΟΙΞΙΑ ΝΑΟΥ

ἤτοι

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ ΑΓΙΑΣΜΟΥ

## ΕΠΙ ΤΗι ΕΝΑΡΞΕΙ ΛΕΙΤΟΥΡΓΙΑΣ ΝΑΟΥ

Ἔχει προευτρεπισθῆ μικρὰ τράπεζα, τεθέντων ἐπ᾽ αὐτῆς ἱεροῦ Εὐαγγελίου, ξυλίνου ἀργυροδέτου Σταυροῦ, θυμιατηρίου, δοχείου μεθ᾽ ὕδατος καθαροῦ, δύο κηροπηγίων, ἐν οἷς ἀνάπτονται κηρία καθαρά, μικρᾶς δέσμης βασιλικοῦ ξηροῦ καὶ λευκοῦ καθαροῦ μάκτρου.

Συνηγμένων δὲ πάντων τοῦ τε εὐσεβοῦς Λαοῦ καὶ τοῦ ἱεροῦ Κλήρου, ἄρχεται ἡ Ἀκολουθία τοῦ πρώτου τῇ τάξει Ἱερέως φέροντος Ἐπιτραχήλιον, τοῦ δὲ Διακόνου Στιχάριον σὺν Ὀραρίῳ.

* * *

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν!

Ὁ Χορὸς ψάλλει τὰ ἑξῆς·
Ἦχος δ΄.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. (δ΄)

Καὶ εὐθὺς τὰ ἑπόμενα τροπάρια·

Τὸ Ἀπολυτίκιον τοῦ τιμωμένου Ἁγίου ἐν τῷ νεοπαγεῖ Ναῷ.

Δόξα.
Ἀπολυτίκιον τῶν Ἐγκαινίων.
Ἦχος δ΄.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου Σκηνώματος τῆς

δόξης Σου Κύριε· κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας Σοι δεήσεις, πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Καὶ νῦν. Θεοτοκίον.
Ἦχος πλ. δ΄.

Παναγία Θεοτόκε Παρθένε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι, ἐν τῷ ψάλλειν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕμνον.

Εἶτα ὁ Χορός·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα. Καὶ νῦν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ πάλιν·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Ἀναγνώστης·
Προκείμενον.

Οἰκοδομήσει Κύριος τὴν Σιὼν καὶ ὀφθήσεται ἐν τῇ δόξῃ Αὐτοῦ.

Στίχ. Λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ὁ Διάκονος·

Σοφία!

Ὁ Ἀναγνώστης·

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Ἀναγνώστης·

Ἀδελφοί, ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει· ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν ἔξωσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαυῒδ· ὃς εὗρε

χάριν ἐνώπιον τοῦ Θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ. Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον.

Ὁ Ἱερεύς·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι!

Ὁ Χορός·

Ἀλληλούϊα. (γʹ)

Ὁ Διάκονος·

Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου!

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι!

Ὁ Χορός·

Καὶ τῷ πνεύματί Σου.

Ὁ Ἱερεύς·

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, δόξα Σοι!

## Ὁ Ἱερεύς·

Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· Οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν ἢ ἕνα τῶν προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπε· Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, δόξα Σοι!

* * *

## Εἶτα αἱ ἑξῆς δεήσεις.

Ὁ Διάκονος·

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν Αὐτῷ καὶ τοῦ φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ καταπεμφθῆναι ἡμῖν πλουσίαν τὴν θείαν Χάριν ἐν τοῖς ἔργοις ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ἑδρασθῆναι τὸ ἔργον ἡμῶν τοῦτο ἐπὶ τὸν ἀκρογωνιαῖον λίθον Ἰησοῦν Χριστόν, καὶ ἀσάλευτον διαμεῖναι εἰς τὸν αἰῶνα τῇ δυνάμει τοῦ τιμίου Αὐτοῦ Σταυροῦ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς, τοὺς λατρεύοντας ἐν τῷ Ναῷ τούτῳ ἐν πνεύματι καὶ ἀληθείᾳ τῷ Θεῷ, φωτισμὸν γνώσεως, διὰ τῆς ὁμοουσίου Τριάδος, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοί, Κύριε.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν!

Ὁ Χορός·

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

Εὐχὴ τοῦ Ἁγιασμοῦ

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς

γλυκύτατα μεταποιήσας καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἁγιάσας τῇ ἀχράντῳ Σου ἐπιφανείᾳ, [ Αὐτὸς καὶ νῦν, Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο τῇ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Σου Πνεύματος (γ΄)] , τοῦ γενέσθαι αὐτὸ πᾶσι τοῖς ἀρυομένοις καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ εὐλογίας πηγήν, ἰατρεῖον παθῶν, ἁγιασμὸν οἴκων, πάσης ἐπιβουλῆς ὁρατῆς τε καὶ ἀοράτου ἀλεξιτήριον. Ἐλθέτω τὸ Πνεῦμα Σου τὸ Ἅγιον ἐφ᾽ ἡμᾶς καὶ κατασκήνωσον ἐν τῷ ὕδατι τούτῳ καὶ τοὺς σπίλους τῶν προσερχομένων ἰασάμενος, εἰσάγαγε πάντας ἡμᾶς εἰς τὴν οὐράνιόν Σου Βασιλείαν.

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν!

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι!

Ὁ Χορός·

Καὶ τῷ πνεύματί Σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν!

Ὁ Χορός·

Σοί, Κύριε.

Ὁ Ἱερεύς, χαμηλοφώνως·
Εὐχὴ τῆς κεφαλοκλισίας

Κλῖνον, Κύριε, τὸ οὖς Σου καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα· καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ Σου, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ Σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρ-

χῳ Σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν!

* * *

Ὁ Ἱερεὺς βαπτίζει τὸν Τίμιον Σταυρὸν ἐν τῷ ὕδατι, κατάγων καὶ ἀνάγων Αὐτὸν ὄρθιον καὶ ψάλλων τὸ τροπάριον·

Σῶσον, Κύριε, τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς Βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ Σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ Σου πολίτευμα.

Καὶ ὁ Χορὸς τὸ αὐτό, δίς.

Ὁ Ἱερεὺς ῥαντίζει σταυροειδῶς, ψαλλομένου ὑπὸ τοῦ Χοροῦ τοῦ τροπαρίου·

Ἦχος β΄.

Τῶν Σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα τοῖς ἐν πίστει λαμβάνουσι,

τὴν εὐλογίαν Σου, Ἄχραντε.

* * *

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν!

Ὁ Χορός·

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

Εὐχὴ εἰς Θυρανοίξια Ναοῦ

Βασιλεῦ Ἅγιε, ὁ ἔχων θρόνον οὐρανὸν καὶ ὑποπόδιον τὴν γῆν, ὁ ἐπὶ τῶν Χερουβεὶμ ἐποχούμενος καὶ ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὁ ἐκλεξάμενος τὴν Σιὼν καὶ αἱρετίσας αὐτὴν εἰς κατοικίαν Σήν, ὁ προσδεχόμενος παρὰ τῶν Σῶν κτισμάτων τὴν λογικὴν λατρείαν, ὁ τὸν Σολομῶντα διδάξας οἰκοδομῆσαι οἶκον τῇ Σῇ μεγαλειότητι καὶ τὸν Ἰσραὴλ ὁδηγήσας εἰς ἀπαρτισμὸν τῆς σκηνῆς τοῦ μαρτυρίου, ὁ ἐν τῇ πέτρᾳ τῆς Πίστεως οἰκοδομήσας τὴν Ἐκκλησίαν Σου, αἱρέτισον καὶ τὸν Ναὸν τοῦτον καὶ ποίησον αὐτὸν σκήνωμα δόξης Σου, τὸ δὲ ἐν αὐτῷ θυσιαστήριον ἅγιον Ἁγί-

ων ἀνάδειξον καὶ ὑπὲρ τὸ κατὰ νόμον ἱλαστήριον δόξασον.

Στερέωσον τὸν ἅγιον οἶκον τοῦτον ἀσάλευτον καὶ δεδοξασμένον ἐν Σοὶ καὶ ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν αὐτοῦ, ἵνα, ἀκατακρίτως ἑστῶτες ἐνώπιον τῆς ἁγίας δόξης Σου, προσάγωμέν Σοι θυσίαν αἰνέσεως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν.

Ἐπάκουσον τῆς δεήσεως τῶν ἐν τῷ πανσέπτῳ Ναῷ τούτῳ εἰσιόντων ἐν φόβῳ καὶ εὐλαβείᾳ καὶ ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι.

Πρόσδεξαι τὰς εὐχαριστηρίους ἡμῶν ἐντεύξεις ἐν τῇ εὐσήμῳ ἡμέρᾳ ταύτῃ, καθ᾽ ἣν Θυρανοίξια τελοῦμεν τοῦ φωτοφόρου καὶ ἱεροῦ Ναοῦ τούτου καὶ ἀνάδειξον τὴν χειροποίητον ταύτην σκηνήν, τῆς Σῆς ἀῤῥήτου δόξης ἅγιον οἰκητήριον, πύλην οὐράνιον καὶ ἱερὸν καταφύγιον.

Ἀξίωσον ἡμᾶς ναὸν ἔμψυχον τοῦ Παρακλήτου γενέσθαι καὶ τόπον σκηνώματος δόξης Σου ἁγιάζειν, ὅτι οὐκ οἴδαμεν προσκυνεῖν Θεῷ ἀλλοτρίῳ, οὐδὲ

διαπετάζειν πρὸς ἕτερον Θεὸν τὰς ἑαυτῶν, Δέσποτα, χεῖρας, ἀλλὰ βωμοὺς καὶ τόπους τῆς λατρείας Σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν σέβειν καὶ ὑπὲρ ὁσίων καὶ ἱερῶν ἀγωνίζεσθαι.

Τὴν Σὴν εὐλογίαν κατάπεμψον ἐξ οὐρανίου κατοικητηρίου Σου ἐπὶ τοὺς δούλους Σου, τοὺς κτήτορας καὶ δωρητὰς τοῦ ἱεροῦ Ναοῦ τούτου, τοῦ οἰκοδομηθέντος ἄρτι, εἰς δοξολογίαν τοῦ ὑπερευλογημένου ὀνόματός Σου καὶ εἰς τιμὴν καὶ μνήμην τῶν Ἁγίων ἐνδόξων Μαρτύρων Κυπριανοῦ καὶ Ἰουστίνης.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἁγίοις ἀναπαυόμενος καὶ Σοὶ τὴν εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν!

* * *

Εἶθ᾽ οὕτω, ὁ Ἱερεὺς εὐλογεῖ καὶ ῥαντίζει ἅπαντα τόν τε ἱερὸν Κλῆρον, τὸν εὐλαβῆ Λαὸν καὶ τὸν νεοπαγῆ ἱερὸν

Ναὸν διὰ τοῦ Σταυροῦ καὶ τοῦ Ἁγιάσματος, τοῦ Χοροῦ ψάλλοντος τὰ τροπάρια·

Τὸ Ἰδιόμελον τοῦ ἤχου δ´
ἐκ τῆς Λιτῆς τοῦ τιμωμένου Ἁγίου
ἐν τῷ νεοπαγεῖ Ναῷ

**Δόξα. Καὶ νῦν. Θεοτοκίον.**
**Ὁ αὐτός.**

Νεῦσον παρακλήσεσι, Σῶν ἱκετῶν Πανάμωμε, παύσουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· Σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν Σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν, Δέσποινα, Σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν, τῶν Σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἕτερον.
**Ὁ αὐτός.**

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους Σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυ-

χῶν ἡμῶν.

Εἶτα ὁ Διάκονος λέγει τὴν Ἐκτενῆ Δέησιν, τῶν Χορῶν ψαλλόντων τὸ λιτανευτικόν· Κύριε, ἐλέησον, ἐκ τρίτου, μεθ᾽ ἑκάστην δέησιν, ἐξαιρέσει τῆς πέμπτης δεήσεως, μεθ᾽ ἣν ψάλλουσι τοῦτο τεσσαράκοντα, ἤτοι τετράκις ἀνὰ δέκα ἕκαστος τῶν Χορῶν ἐναλλάξ.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, ἔτι δὲ καὶ τῶν κτητόρων καὶ δωρητῶν τοῦ ἄρτι οἰκοδομηθέντος τούτου ἱεροῦ Ναοῦ, μετὰ τῶν οἰκείων καὶ συγγενῶν αὐτῶν.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ᾿ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ

Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς δυσμὰς καὶ βλέπων πρὸς τὸν λαόν, δοξάζει τὸν Θεόν, λέγων· Δόξα Σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα Σοι· τοῦ δὲ Ἀναγνώστου εἰπόντος τὰ γνωστά· Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον, ἐκ τρίτου, Πάτερ ἅγιε, εὐλόγησον· εὐθὺς ἡ οἰκεία μικρὰ Ἀπόλυσις καὶ τὸ ἐπισφραγιστικὸν τῆς ὅλης Ἱερᾶς Ἀκολουθίας, τοῦ Ἱερέως στραφέντος πρὸς ἀνατολὰς καὶ ἀτενίζοντος τὴν ἱερὰν Εἰκόνα τοῦ Δεσπότου Χριστοῦ·

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἅπας ὁ λαὸς μεταλαμβάνει ἐκ τοῦ ἁγιασθέντος ὕδατος, δοξάζων τὸν Θεόν, τὸν Πατέρα, τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, τὸν ἐνδοξαζόμενον ἐν τοῖς Ἁγίοις Αὐτοῦ Μάρτυσι Κυπριανῷ καὶ Ἰουστίνῃ.

✠

Τῷ δὲ ἐν Τριάδι
Παναγίῳ καὶ Φιλανθρώπῳ Θεῷ ἡμῶν
δόξα, τιμή, προσκύνησις
καὶ εὐχαριστία.
Ἀμήν!

---

Ἡ χρησιμοποιηθεῖσα *Εὐχὴ εἰς Θυρανοίξια Ναοῦ,* ἐκ τοῦ ἔργου: **Μητροπολίτου Νέας Ἰωνίας καὶ Φιλαδελφείας Τιμοθέου Ματθαιάκη,** *Ἐγκόλπιον Εὐχολόγιον,* σελ. 226 - 227, ἔκδοσις δ΄, Ἀθῆναι 2000.

# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

1. Ἀκολουθίαι:
   α. Ἐπὶ γυναικὶ ἀτέκνῳ, εἰς τὸ παιδοποιῆσαι
   β. Ἐπὶ γυναικὶ ἐγκύῳ, εἰς τὸ κυοφορῆσαι ἀκινδύνως καὶ γεννῆσαι αἰσίως
   γ. Εἰς παῖδας τοῦ φωτισθῆναι καὶ ἐπιτυχεῖν εἰς τὰ γράμματα
2. Ἱερὰ Ἀκολουθία ἐπὶ καθιερώσει Σταυροῦ διὰ τὸν τροῦλλον Ἱεροῦ Ναοῦ.
3. Θυρανοίξια Ναοῦ, ἤτοι Ἱερὰ Ἀκολουθία Ἁγιασμοῦ ἐπὶ τῇ ἐνάρξει λειτουργίας Ναοῦ.
4. Ἀκολουθία Εὐλογίας Μνήστρων.